www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΗΝ ΚΥΡΙΑΝ ΚΑΙ ΔΕΣΠΟΙΝΑΝ ΗΜΩΝ ΘΕΟΤΟΚΟΝ,
# ΤΗΝ ΙΕΡΟΣΟΛΥΜΙΤΙΣΣΑΝ



Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2009 *




# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΗΝ ΠΑΝΑΓΙΑΝ ΤΗΝ ΙΕΡΟΣΟΛΥΜΙΤΙΣΣΑΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς ΡΜΒ΄(142)*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου,

καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου,

καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τὸν Βασιλέα τοῦ παντὸς τετοκυῖα,
τὰ δευτερεῖα τῆς Τριάδος κατέχεις,
Ἱεροσολυμίτισσα Παρθένε ἀγαθή,
ὅθεν τῇ εἰκόνι σου,
θείαν χάριν παρέσχες,
ᾗ περ οἱ χριστώνουμοι,
καταφεύγοντες πίστει,
ὡς ἐκ πηγῆς πληρούμεθα ζωῆς,
καὶ ἐκ παντοίων,
παθῶν ἐκλυτρούμεθα.

*Δόξα, ὅμοιον.*

Ὥσπερ ἐτμήθη ὁ Ὑπέρθεος Λόγος,
ἄνευ χειρὸς ἐκ τῆς σαρκός σου Παρθένε,
Ἱεροσολυμίτισσα οὕτως καὶ ἡ εἰκών,
ἡ σεπτὴ ἱστόρηται,
ἐν Σιὼν τῇ ἁγίᾳ,

ἄνευ χειρὸς Δέσποινα,
ὑπὲρ φύσιν ὡς οἶδας,
ἣν προσκυνοῦντες οἱ χριστιανοί,
τῶν αἰτημάτων,
τὴν λύσιν λαμβάνομεν.

*Καὶ νῦν, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τὶς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρους
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν' ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
*"Ὦ Ἱεροσολυμίτισσα, βοῶ κἀγώ σοι· Χαῖρε .Ἀ(θανάσιος)"*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ἁρματηλάτην φαραώ.*

Ὡραιοτάτην σε εὑρὼν ὁ Κύριος,
ἀπὸ πασῶν γενεῶν,
Πνεύματι σκηνώσας,
ἐν γαστρὶ ἁγίᾳ σου,
Ἱεροσολυμίτισσα,
σοὶ παρέσχε τὴν χάριν,
πληροῦν ἀεὶ τὰ αἰτήματα,
τῶν πιστῶς τιμώντων εἰκόνα σου.

Ἱερομύσται Προφητῶν προεῖδόν σου,
τὴν καθαρότητα,
καὶ ψυχῆς τὴν χάριν,
ἐν σεπτοῖς ὁράμασιν·
ὅτε δὲ ἦλθε πλήρωμα,
ὁ ὑπέρθεος Λόγος,
ἐκ σοῦ ἐτέχθη ὡς ἄνθρωπος,
ἵνα σώσῃ Κόρη τὸν ἄνθρωπον.

Ἐν τῷ Σπηλαίῳ Βηθλεὲμ ἐγέννησας,
Δημιουργὸν τοῦ παντός,
καὶ ἐκ τῶν μαζῶν σου,
Τοῦτον ἐγαλούχησας,
Ἱεροσολυμίτισσα,
καὶ ὡς βρέφος χερσί σου,
μητροπρεπῶς ἐτιθήνησας.
Ὢ! τοῦ παραδόξου θεάματος.

Ῥοὰς δακρύων χεομένων Δέσποινα,
πρὸ τῆς εἰκόνος σου,
ἴδε τῶν σῶν τέκνων,
καὶ τὴν λύσιν χάρισαι,
τῶν προβλημάτων τάχιστα,
ὅπως σὲ προσκυνοῦντες,
δοξάζωμεν τὸν δοξάσαντα,
σὲ τὸν Ἰησοῦν τὸν γλυκύτατον.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Οὐρανὸς ἐγεγόνεις,
τὸν οὐρανῶν Κύριον,
ἐκ τῶν σῶν σπλάγχνων τεκοῦσα,
Θεομακάριστε,
καὶ δῶρον εἴληφας,
ἐκ τῶν σεπτῶν σου εἰκόνων,
χάριν χέειν ἄφθονον,
ταύταις προστρέχουσι.

Στόμασί τε καρδίαις,
ἀγγελικῶς κράζομεν,
Χαῖρε Ἀρχαγγέλου Παρθένε,
πρὸ τῆς εἰκόνος σου,
ἣν πεπλουτήκαμεν,
ἐκ τῆς Σιὼν προελθοῦσαν,
καὶ θαυμάτων δύναμιν,
ἡμῖν παρέχουσαν.

Οὓς ἐκτήσω Παρθένε,
Χριστιανοὺς φύλαττε,
ταῖς πρὸς τὸν Δεσπότην πρεσβείαις,

καὶ δεῖξον ἅπαντας,
οἴκους τῆς χάριτος,
καὶ ἀρετῶν πανδοχεῖα,
ὅπως τέκνα φαίνωνται,
Χριστοῦ φωτόμορφα.

Λύτρωσαί με Κυρία,
ἐκ τῶν παθῶν ἅπερ με,
κτείνουσι ψυχὴν τὴν ἀθλίαν
καὶ ὁδηγοῦσί με,
πρὸς τὴν ἀπώλειαν,
καὶ μακρυσμὸν τοῦ Υἱοῦ σου,
ὅπως τὴν εἰκόνα σου,
πόθῳ ἀσπάζωμαι.

Διάσωσον,
ἀπὸ κινδύνων καὶ βλάβης ἀντικειμένου,
τοὺς προστρέχοντας πίστει ἁγία εἰκόνι σου,
καὶ δίδου χάριν μητρικὴν,
Ἱεροσολυμίτισσα, πᾶσιν.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἀσπόρως Χριστόν,
ἐκύησας Πανάμωμε,
καὶ ἄνευ χειρῶν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἱστόρησας εἰκόνα σου,
Ἱεροσολυμίτισσα,
ἐν Γεθσημανῆ θείᾳ χάριτι,
ἥν περ ὡς δῶρον ἐκ σεπτῆς Σιών,
τοῖς εὐλαβέσι,
Ὀρθοδόξοις δεδώρησαι.

*Ὠιδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.*

Ὑπερφυῆ Δέσποινα, τὰ μεγαλεῖά σου,
οἷς Υἱός σε κατεμεγάλυνεν,
καὶ ἡ πρεσβεία σου τῶν εὐχῶν,
πέφυκε μεγίστη,
διὸ οἱ πίστει τιμῶντές σε,
προστρέχομεν βοῶντες,
ἐν ἀνάγκαις τοῦ βίου,
μὴ ἐλλείπης ἡμᾶς κινδυνεύοντας.

Μεῖνον ἀεὶ Πάναγνε,
τοῖς δεομένοις σου,
καὶ ὡς Μήτηρ πάντας καθοδήγησον
εἰς ἀγαθὸν τὸ ψυχωφελές,
ὅπως προσκυνῶμεν,
σεπτὴν εἰκόνα σου πάντοτε,
ἣν δέδωκας ὡς δῶρον,
Ὀρθοδόξοις Παρθένε,
ἐκ Σιὼν φιλοτέκνῳ ἀγάπῃ σου.

Ἰατρικὴν ἔχουσα,
δύναμιν Πάναγνε,
ἀσθενείας ἴασαι τῶν τέκνων σου,
ψυχῆς ὁμοῦ σώματος ταχύ,

δύνασαι γὰρ Μῆτερ,
ὡς μεσιτείαν κατέχουσα,
πρὸς τὸν γλυκὺν Υἱόν σου,
Ὃν ὡς βρέφος βαστάζεις,
ἐν εἰκόνι βλυζούσῃ τὰ θαύματα

Τὸ πανάχραντον σῶμα,
σοῦ ὁ Τάφος Δέσποινα οὐ κατεκράτησεν,
ἀλλὰ πρὸς Δεσπότην,
ὡς ναὸν πανευώδη ἀπέστειλεν,
ἐν Γεθσημανῇ δέ,
δέδωκας θείαν σου εἰκόνα,
αὐτομάτως γραφεῖσαν τοῖς τέκνοις σου.

*Ὠιδὴ ε'. Ἵνα τί με ἀπώσω.*

Ἵλεών μοι Δεσπότην,
ποίησον Πανάμωμε τὸν Ἐλεήμονα,
Ὃν ταῖς ἁμαρτίαις,
καθ' ἡμέραν λυπῶ ὡς ἀνόητος,
καὶ τῆς μετανοίας,
τὰς πύλας ἄνοιξον εὐχαῖς σου,
τὴν ἁγίαν μορφὴν προσκυνοῦντί σου.

Σοῦ τὰ πάντα Παρθένε,
φέρουσι σφραγῖδα τῆς μεγαλειότητος,
καὶ τὸν νοῦν ἀνθρώπων,
καταπλήττουσι ἐμφαντικώτατα,
ὅθεν καὶ εἰκόνος,
Γεθσημανῇ ὁ θεῖος τύπος,
ὑπὲρ φύσιν καὶ λόγον ἱστόρηται.

Στέφος θείων χαρίτων
εἴληφας Παρθένε διὰ τὴν ἁγνείαν σου,
ἣν καταφιλήσας,
ὁ ὑπέραγνος Κύριος εἴληφεν,
ἐκ σαρκός σου σάρκα,
καὶ ὡμοιώθη τοῖς ἀνθρώποις,
οἷς μεσίτριαν σὲ ἐδωρήσατο.

Ἀναπλάσασα Κόρη,
φύσιν τὴν ἀνθρώπειον πεσοῦσαν τόκῳ σου,
δύναμιν κατέχεις,
ἐνεργεῖν φυσικῶς τὰ θαυμάσια·
ὅθεν καὶ εἰκόνα,
ἀχειροποίητον παρέσχες,
ἐν Σιὼν τῇ ἁγίᾳ Θεόνυμφε.

*Ὠιδὴ ϛ΄. Ἱλάσθητί μοι, Σωτήρ.*

Βάρη ποικίλα παθῶν,
τὰ τὰς ψυχὰς Μῆτερ θλίβοντα,
ὡς νέφαλα σαῖς εὐχαῖς,
ταχέως ἀφάνισον,
καὶ χαρὰν χορήγησον,
ἀγαθοῦ Δεσπότου,
ὦ Ἱεροσολυμίτισσα.

Ὁ νοῦς μου Σεμνὴ σκιρτᾷ,
καὶ ἡ καρδία ἀγάλλεται,
εἰκόνα θαυματουργόν,
φιλοῦντος ἐκ πόθου σου,
καὶ εἰρήνη ἄσειστος,
ἔνδον βασιλεύει, ὦ Ἱεροσολυμίτισσα.

Ὡς βρέφος κλαίω θερμῶς,
καὶ εὐγνωμόνως δοξάζω σε,
εὐεργεσίας πολλάς,
μνημονεύων Ἄχραντε,
καὶ θείῳ σκιρτήματι,
πρὸ μορφῆς σου πίπτω,
ὦ Ἱεροσολυμίτισσα.

Κλῖνον τὸ οὖς σου Ἁγνή,
καὶ ἄκουσον δέησιν,
ἀσπαζομένων σεπτῶς,
τὴν θείαν εἰκόνα σου,
λύουσα αἰτήματα,
καὶ τὰς παρακλήσεις,
ὦ Ἱεροσολυμίτισσα.

Διάσωσον,
ἀπὸ κινδύνων καὶ βλάβης ἀντικειμένου,
τοὺς προστρέχοντας πίστει ἁγία εἰκόνι σου,
καὶ δίδου χάριν μητρικὴν,
Ἱεροσολυμίτισσα, πᾶσιν.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ὡς Σιών, Ἱεροσολυμίτισσα,
κατοικεῖν ὁ Δεσπότης ηὐδόκησεν,
οὕτω Μῆτερ,

ἀπὸ πασῶν γενεῶν τῶν γυναικῶν,
εὑρών, ἁγνοτάτην σε σκηνήν,
καὶ πλατυτέραν οὐρανῶν,
ὑπὲρ φύσιν σεσάρκωται.
Ὅθεν ὡς Θεοτόκος,
ἔχεις ἀεὶ τὴν χάριν,
ἣν περ παρέχεις τοῖς πιστοῖς,
τὴν εἰκόνα προσκυνοῦσί σου.

Προκείμενον. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχος. *Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.*

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Λουκᾶν (1,39-49.56)*

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριὰμ ἐπορεύθη εἰς τὴν Ὀρεινὴν, εἰς πόλιν Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ

ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατὸς καὶ ἅγιον τὸ Ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

*Δόξα Πατρί.*

Ἱεροσολυμιτίσσης, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

*Στίχ. Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Ἱεροσολυμίτισσα,
ἡ τὸν Σωτῆρα τεκοῦσα,
ὑπὲρ φύσιν ἅπασαν,
καὶ τὴν ἀνθρωπότητα, ἐκλυτρώσασα,
τὴν σεπτὴν εἰκόνα σου ἀχειροποιήτως,
ἱστορήσασα ὡς ἔγνωκας,
ταύτην παρέδωκας,
ὡς καταφυγὴν τοῖς τιμῶσί σε.
Ἣν πίστει ἀσπαζόμενοι,

χάριτας λαμβάνομεν Ἄχραντε,
καὶ δοξολογοῦμεν,
ὡς ἔμψυχον Σιών σε ἐν ψαλμοῖς,
οἱ ὀρθοδόξως πιστεύοντες, εἰς αἰῶνας ἅπαντας.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...*

*Ὠιδὴ ζ΄. Παῖδες ἑβραίων.*

Ἄγγελοι σὺν τοῖς Ἀποστόλοις,
τὴν Μετάστασιν, σοῦ ὕμνησαν Παρθένε,
ἐν Σιὼν θαυμαστῶς,
πάντοθεν συναχθέντες,
ἡμεῖς δὲ τὴν εἰκόνα σου,
ἐν ᾠδαῖς καταφιλοῦμεν.

Γνῶσιν συλλήψεως οὐκ ἔγνως,
Ἀειπάρθενε, ὡς ἔφης τῷ Ἀγγέλῳ,
καὶ ἰδοὺ σὴ εἰκών,
ἀχείρως ἐτυπώθη,
τὴν χάριν φανεροῦσάν σου,
ἣν πλουτεῖς ὡς Θεοτόκος.

Ὥσπερ συνάγει τὰ νοσσία,
ὄρνις Δέσποινα,
συνάγαγε σὰ τέκνα,
τὰ ἐγγὺς καὶ μακράν,
τιμῶντα σὴν εἰκόνα,
καὶ λύσιν ψυχωφέλιμον,
τῶν αἰτήσεων παράσχου.

Σῶσον τοὺς πόθῳ σε τιμῶντας,

Μῆτερ ἄνανδρε,
καὶ ἴασαι τὰς νόσους,
τὴν ὑγιείαν αὐτοῖς,
ἀκλόνητον διδοῦσα,
καὶ προκοπὴν φιλόχριστον,
ἐν τοῖς πράγμασι τοῦ βίου.

*Ὠιδὴ η΄. Τὸν ἐν ὄρει.*

Οὐρανόφοιτον δῶρον ἐχαρίσθη,
ἡ σεπτή σου εἰκών,
Ἁγίᾳ Ἐκκλησίᾳ,
Ἱεροσολυμίτισσα,
ἡ μυστικὴ καθέδρα,
τοῦ Λόγου Ὃν ἐκύησας,
ἐκ πανάγνων σου αἱμάτων.

Ἱερεῖα ἀνάδειξον Παρθένε,
τοὺς τιμῶντάς σου,
τὴν πάνσεπτον εἰκόνα,
θανατοῦντας σοφῶς,
τὰ ψυχοφθόρα πάθη,
Ἱεροσολυμίτισσα,
μητρικαῖς σου ἱκεσίαις.

Βρύει ῥεῖθρα τῆς Χάριτος μορφή σου,
ἡ πανάμωμος, Παρθένε Θεομῆτορ,
δι' ὧν πάντες πιστοί,
λαμβάνουσιν ἰάσεις,
καὶ κατὰ χρέος ψάλλουσιν,
εὐγνωμόνως σοι τό, Χαῖρε.

Ἁμαρτήμασι κατακεχραμένοι,
προσερχόμεθα ἁγίᾳ σου εἰκόνι,
ἐκκαθαρθῆναι Μῆτερ ἱκεσίαις σου,
καὶ στολὴν φορέσαι,
ἣν περ ὁ Δεσπότης,
δίδωσι μετανοίας.

*Ὠιδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ἱεροσολυμίτισσα ἀγαθή,
μὴ λιποῦσα Σιὼν δι᾿ εἰκόνος σου
μητροπρεπῶς,
ἀχειροποιήτου τε καὶ σεπτῆς,
πόλιν Σεῤῥῶν ηὐλόγησας,
ἥτις ὥσπερ ἄλλη Γεθσημανῆ,
τιμᾷ ταύτην ἐνθέως,
καὶ πάσας τὰς ἐλπίδας,
πιστῶς ἐν σοὶ προσανατίθεται.

Ῥητόρων οὐκ ἰσχύουσιν αἱ φωναί,
ὅπως ψάλλωσι Μῆτερ τὴν δόξαν σου,
δι᾿ ἧς Υἱός,
ὁ Μονογενής σου ὁ Ἰησοῦς,
ἐδόξασέ σε Δέσποινα,
ὑπὲρ ἅπαν ἄλλο τι ἐπὶ γῆς,
διὸ καὶ οἱ τιμῶντες,
σὴν πάναγνον εἰκόνα,
σιγῇ καὶ πόθῳ ἀνυμνοῦμέν σε.

Εὑρίσκομεν κατάλληλον τὴν φωνήν,
συγγενοῦς Ἐλισάβετ Πανάχραντε,
δι᾿ ἧς ποτε,

www.tezaurliturgic.ro


σὲ καθυπεδέξατο ἐν χαρᾷ,
Εὐλογημένη λέγουσα,
σὺ παρὰ Κυρίου ἐν γυναιξί,
καὶ ὁ καρπὸς κοιλίας,
ὑπερευλογημένος,
δι᾽ Ὃν τοιαύτην δόξαν εἴληφας.

᾿Αγκάλας σου ὑφάπλωσον μητρικάς,
καὶ τιθήνησον πάντα τὰ τέκνα σου,
Γεθσημανῆ,
σκέπη καὶ κραταίωμα ἱερόν,
Ἁγίους Τόπους Δέσποινα,
ταῦτα θείῳ Πνεύματι μυστικῶς,
δεικνύουσα καὶ μέλη,
Σιὼν τῆς ἄνω Κόρη,
καταξιοῦσα ταῖς πρεσβείαις σου.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξωτέραν,
ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως,
Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.

*καὶ τὰ ἑξῆς Μεγαλυνάρια*


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἱεροσολυμίτισσα θαυμαστή,
τοὺς ἀσπαζομένους,
τὴν εἰκόνα σου τὴν σεπτήν,
σκέπε καθ᾽ ἑκάστην,
ἀπὸ παντὸς κινδύνου,
καὶ Βασιλείαν δίδου, τὴν ὑπερπόθητον.
Ἀχειροποιήτως ἡ σὴ Μορφή,
ἱστόρηται Μῆτερ,
ὡς ηὐδόκησεν ὁ Θεός,
ἐν τῷ ἱερῷ σου Μνημείῳ ἔνθα πάντες,
Χριστιανοὶ τιμῶμεν,
ταύτην Πανάχραντε.

Ὥσπερ ἐξ ἡλίου παντοειδεῖς,
ἀκτῖνες Παρθένε,
καταλάμπουσι πᾶσαν γῆν,
οὕτως αἱ σεπταί σου καὶ ἱεραὶ εἰκόνες,
πᾶσαν τὴν Ἐκκλησίαν,
καταφαιδρύνουσι.

Χαῖρε χριστοφόρε Γεθσημανῆ,
ἡ φιλοξενοῦσα,
τὸ πανάχραντον καὶ σεπτὸν,
Μνῆμα τῆς Παρθένου,
ἅμα καὶ τὴν εἰκόνα,
ἥ ἀχειροποιήτως,
ξύλῳ τετύπωται.

Ὡς εὐλογημένη πόλις Σεῤῥῶν,
ὅτι ἐν σοῖς κόλποις,
ἔχεις σέβασμα ἱερόν,
τῆς Μητρὸς Κυρίου

εἰκόνα ζωηφόρον,
ἐξ Ἱεροσολύμων,
χάριτας βρύουσαν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

*Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.*

Πόθῳ καὶ ἀγάπῃ τεκνικῇ,
θείαν σου εἰκόνα τιμῶμεν
καὶ ἀσπαζόμεθα,
Ἱεροσολυμίτισσα,
ἣν ὁ Χριστὸς ἐκ Σιών,
ὡς οὐράνιον δώρημα,
Σεῤῥαίων τῇ πόλει,
φιλοτέκνως δέδωκε,
ᾗ καταφεύγοντες,
λύσιν αἰτημάτων ζητοῦμεν,
καὶ τὴν οὐρανῶν Βασιλείαν,
θείαις μεσιτείαις σου Πανάμωμε.

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,

ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδά μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*

* * *

***Στίχοι***

*Ἱερουσαλὴμ τῆς ἄνω πολίτας δεῖξον,*
*Ἱεροσολυμίτισσα, τοὺς σὲ τιμῶντας.*